*τετ'ρ̣[αέλικτο]ν ἐπεί*
*κάμψ[εν δρό]μον, Ἰσθμιονίκαν*
*δίς ν[ιν ἀγκ]άρυξαν ε̣ὐβού-*
*λων [⏑––]ων προφᾶται·*
B′ *δὶς δ' ἐ[ν Νεμέ]ᾱι Κρονίδα Ζηνὸς παρ' ἁγ'νόν*
*βωμό[ν· ἁ κλει]νά τε Θήβα*
*δέκτ[ο νιν ε]ὐρύχορόν*
*τ' Ἄργο[ς Σικυώ]ν τε κατ' αἶσαν·*
*οἵ τε Π[ελλάν]αν νέμονται,*
*ἀμφί τ' Εὔβοιαν πο̣λ[υλάϊο]ν̣, οἵ θ' ἱεράν*
*νᾶσο̣ν [Αἴγιν]αν. ματεύει*
*δ' ἄλλ[ος ἀλλοί]αν κέλευθον,*
*ἄντι[να στείχ]ων ἀριγ'νώτοιο δόξας*
*τεύξεται. μυρίαι δ' ἀνδρῶν ἐπιστᾶμαι πέλονται·*
*ἢ γὰρ σ[ο]φὸς ἢ Χαρίτων τιμὰν λελογχώς*
*ἐλπίδι χ'ρυσέᾱι τέθαλεν*
*ἤ τινα θευπροπίαν*
*εἰδώς· ἕτερος δ' ἐπὶ παισί*
*ποικίλον τόξον τιταίνει·*
*οἱ δ' ἐπ' ἔργοισίν τε καὶ ἀμφὶ βοῶν ἀ[γ]έλαις*
*θυμὸν αὔξουσιν. τὸ μέλλον*
*δ' ἀκ'ρίτους τίκτει τελευτάς,*
*πᾶ τύχα βρίσει. τὸ μὲν κάλλιστον, ἐσθλόν*
*ἄνδρα πολλῶν ὑπ' ἀνθρώπων πολυζήλωτον εἶμεν·*
*οἶδα καὶ πλούτου μεγάλαν δύνασιν,*

25 Ρ[, Ι[ sim. | Jur. alii; *τετράκι δ' ἄκρον* Schw. longius spatio || 26 Ψ[, Τ[ sim. || 26 et 27 J. || 27sq. ΕΥΒΟΙ:ΑΩΝ: **A³** (superscr. Λ) || 28 *ἀεθλάρχων* Platt, *Κορινθίων* Fennell, Drachm., *δίκας ψάφων* Schw. || 29sqq. Pind. O. 13, 32–46. 97–112 conf. K. || 30 J. || 32 *Σεκυών* Rossbach || 34 ]Ν, ]Ι sim. || 35 Ν[, Ι[ sim. | ΑΙΓΕΙΝ scriptum esse spatio testatur, cf. 12, 6 || 36 cf. 14, 7 || 37 Bl. || 38 ΕΠΙΣΤΑΤΑΙ: **A³** || 39 prius Γ supra v. additum | *σοφός* est et poeta (39sq.) et vates (41), cf. Sol. 1, 51sqq. D. | *ἤ* (non *ἦ*) Sn. | ΤΙΜᾹΝ || 42 sc. *ὁ φιλήδονος* (Wil.) || 44 *ἔργοισιν* de agricultura (Sol. 1, 47sq.) || 45 Sol. 1, 63–66 || 47 ΠΑ: ΠᾹΙ **A³** cf. 5, 160 et 191 *τᾶδε*, sed 18, 30 *ὅπᾶι* | ΒΡΙΣΕΝΟΜΕΝ: **A³** | ΕΣΕΛΩΝ: *ἐσθλῶν* K. *ἐσθλὸν* Wil. || 48 *ἔμμεν* K. ut 5, 144 etc. || 49 ΔΥΝΑΜΙΝ: **A³**





*ἃ καὶ τ[ὸ]ν ἀχ'ρεῖον τι̣[θησ]ι*
*χρηστόν. τί μακ'ρὰν γ[λ]ῶ[σ]σαν ἰθύσας ἐλαύνω*
*ἐκ̣τὸς ὁδοῦ; πέφαται θνατοῖσι νίκας*
*ὕστε]ρον εὐφροσύνα,*
col 23 (19) *αὐλῶν [δὲ ⏑–⏑⏑––*
*μείγν̣[υτ–– –⏑––*
*χρή τιν̣[–––⏑––*

## 11 (10)

## ΑΛΕΞΙΔΑΜΩΙ ΜΕΤΑΠΟΝΤΙΝΩΙ

### ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ ΠΥΘΙΑ

metrum: dactyloepitr (v. p. XXV) *A′–Γ′*

*ΣΤΡ* _D_E_ || 3 _De⏓e_ (18.60) || 5 D | _De_d1 |
8 _D | 9 _D⏓e_ (9.107) || 10 _D_D | 12 _D⏓e_ ||
13 _D_E_ |||
*ΕΠ* _D | _D | ⏑e_ | 3 D | 4 _DE_ ||
6 _D_E || 8 _D⏓e (120) |
9 _D | _D || 11 E_e⏕ | 12 D_DE_ |||

A′ *Νίκα γ⌊λυκύδωρε·[⏑– γὰρ*
*σοὶ πατ[ὴρ ––⏑––*
*ὑψίζυ[γος –⏑⏑–*
*ἐν πολ⌊υχ'ρύσωι ⟨τ'⟩ Οὐλύμ⌋πωι*

**11** metri causa correctum 21 *-νικοι⟨ο⟩*, 43 *ἐφόβησε⟨ν⟩*, 54 *στή-θεσ⟨σ⟩ι{ν}*, 114 ⟨*ἐς*⟩; notandum 114 *πόλιν̄*, 77 *κάμον̄* aut *κάμον* || ; corruptum 119sq. *πρόγονοι ἑσσάμενοι*

**11 1** et **4–7** aff. Ursinus ex Stob. Flor. 3, 3, 66 (3, 219 W.-H.) *Βακχ. δὲ τὴν Νίκην γλυκύδωρόν φησι καὶ ἐν πολ. Ὀλ. Ζ. παρισταμένην κρίνειν τ. ἀθ. τε καὶ θνητοῖς ἀρετῆς* (fr. 9B.)

**50** extr. Ι an ΙΝ? || **51** Γ[, Π[ | ΪΟΥΣΑΣΕΛ: ΪΘΥΣ⟦ΑΣ⟧ΕΛ **A¹**: Υ super Ϊ **A³** | Bl. Housm. alii || **51**sq. Sol. 1, 3sq. || **52** *πέφαται* „dicta = constituta est" Herw. || **54**sq. cf. Sapph. 44, 24 L.-P. *αὖλος δ' ἀδυμέλης . . . ὀνεμείγνυτο* || **55** ΜΙΓΝ[, ΜΙΓΗ[ sim. || **56** Ν[, vix Η[ | *ἐπεὶ νῦν] χρή τιν[' ὑμνῆσαι* e. g. Sn. cf. 14, 20
**11 1** Γ[ vel Π[ || **1**sqq. *κλυτὰν γὰρ σ. π. τιμὰν ἔδωκεν ὑψ. Οὐρανίδας* Hense, Sn. *μόνᾱι γάρ* Ed. Fraenkel || **4** ⟨*τ'*⟩ Sn., ⟨*δ'*⟩ Neue

*Ζηνὶ ⌊παρισταμένα⌋*
*κρίνε⌊ις τέ⌋λ⌊ο⌋ς ἀθανάτοι-*
*σίν τε ⌊καὶ θ⌋νατοῖς ἀρετᾶς·*
*ἔλλαθι, [βαθυ]π'λοκάμου*
*κούρα Σ[τυγὸς ὀρ]θοδίκου· σέθεν δ' ἕκατι*
*καὶ νῦ[ν Μετ]απόντιον εὐ-*
*γυίων κ[ατέ]χουσι νέων*
*κῶμοί τε καὶ εὐφροσύναι θεότιμον ἄστυ·*
*ὑμνεῦσι δὲ Πυθιόνικον*
*παῖδα θαητ[ὸ]ν Φαΐσκου.*
*ἵλεῴι [ν]ιν ὁ Δα[λ]ογενὴς υἱ-*
*ὸς βαθυζώνο[ιο] Λατοῦς*
*δέκτ[ο] β'λεφ[άρω]ι· πολέες*
*δ' ἀμφ' Ἀλεξ[ίδα]μον ἀνθέων*
*ἐν πεδίωι στέφανοι*
*Κίρρας ἔπεσον κρατερᾶς*
*ἦρα παννίκοι⟨ο⟩ πάλας·*
*οὐκ ε[ἶ]δέ νιν ἀέλιος*
*κείνωι γε σὺν ἄματι πρὸς γαίᾱι πεσόντα.*
*φάσω δὲ καὶ ἐν ζαθέοις*
*ἀγ'νοῦ Πέλοπος δαπέδοις*
*Ἀλφεὸν πάρα καλλιρόαν, δίκας κέλευθον*
*εἰ μή τις ἀπέτ'ραπεν ὀρθᾶς,*
*παγξένωι χαίταν ἐλαίᾱι*
*γλαυκᾶι στεφανωσάμενον*
*πορτιτ'ρόφο[ν] [. . . .].'[. . . . .]ραν θ' ἱκέσθαι.*

8 *ἔλλᾱθι* = *ἵληθι*, forma Aeolica sec. Hdn. 2, 499, 19 et Et. Gud. s. v. *χίλιοι*; *ἔλληθι* postulat Wackern. | *βαθυπλ.* J. || 9 *Στ.* Bl., Fennell || 10 extr. ЄΙ: A¹ || 11 Κ[, Ι[ sim. | ]Χ, ]Υ, ]Κ | Bl. alii cl. Aesch. Pers. 427 || 15 ΙΟ . ΩΔΙΝ: ΙΛЄΩΙΝΙΝ A¹? || 17 -Ω]Ν? (sec. K. fort. *οι*]*ν*): A³? || 21 ΝΙΚΟΙ: K. ~ 49 | ΠΑΛΛΑϹ: A³ || 23 ΤЄ: A¹? | ϹΥΝ — ΠЄϹΟΝΤΑ add. A⁴ || 24 ЄΠΙ: ЄΝ A²? *δέ κ' ἐπὶ* Housm., ut non necesse sit *κε* vel *ἂν* v. 30; sed aptum *καί* || 26 *δίκαν κελεύθου* Herw. | ~ 96 || 28 ΞЄΙΝΩΙ A¹? | ЄΛΑΙΑϹ: A³ || 30 ΟΙ[, ЄΝ[ sim. | ]Ρ, ]Β, ]Π | Α potius quam Ο vel Є | *Ἰταλίαν χ' ἕδραν* J., *Ἰταλίαν πάτραν* (cf. ad 24, vel 28 ⟨*κ'*⟩ *ἐλαίαι*) Platt, ⟨*ἂν*⟩ *πεδίον πάτραν* Bl. (non est spatium verbi ΑΝ) | ϹΘΑΙ·





– ⏑ ⏑ – ⏑ ⏑ –]
col 24 (20) *παῖδ' ἐν χθονὶ καλλιχόρωι*
*ποικίλαις τέχ'ναις πέλασσεν·*
*ἀ]λλ' ἢ θεὸς αἴτιος, ἢ*
*γ]νῶμαι πολύπ'λαγκτοι βροτῶν*
*ἄ]μερσαν ὑπέρτατον ἐκ χειρῶν γέρας.*
*νῦν δ' Ἄρτεμις ἀγ'ροτέρα*
*χρυσαλάκατος λιπαρὰν*
*Ἡμ]έρα τοξόκ'λυτος νίκαν ἔδωκε.*
*τ]ᾶι ποτ' Ἀβαντιάδας*
*β]ωμὸν κατένασσε πολύλ-*
*λ[ι]στον εὔπεπ'λοί τε κοῦραι·*
B' *τὰς ἐξ ἐρατῶν ἐφόβησε⟨ν⟩*
*παγκρατὴς Ἥρα μελάθ'ρων*
*Προίτου, παραπλῆγι φρένας*
*καρτερᾶι ζεύξασ' ἀνάγκᾱι·*
*παρθενίᾱι γὰρ ἔτι*
*ψυχᾶι κίον ἐς τέμενος*
*πορφυροζώνοιο θεᾶς·*
*φάσκον δὲ πολὺ σφέτερον*
*πλούτωι προφέρειν πατέρα ξανθᾶς παρέδ'ρου*
*σεμνοῦ Διὸς εὐρυβίᾱ.*
*ταῖσιν δὲ χολωσαμένα*
*στήθεσσι παλίντροπον ἔμβαλεν νόημα·*
*φεῦγον δ' ὄρος ἐς τανίφυλλον*
*σμερδαλέαν φωνὰν ἱεῖσαι,*
*Τιρύνθιον ἄστυ λιποῦσαι*

47 sqq. schol. MV Hom. Od. *ο* 225 his versibus usa esse docuit C. Robert, Herm. 52, 308

31 *οὔτις ἐπιχθονίων* Taccone *οὔ τι δόλος κακόφρων* J. *ἀντιπάλω δύ' ἐπεὶ παῖδ(ε)* Bl. plene interpungens post 33, non post 30 || 33 ϹϹЄΝ· || 35 ΠΛΑΓΚΟΙ || 36 *ἄμερσαν* Palmer || 39 Bl. cf. Callim. h. 3, 236; Paus. 8, 18, 8; IG 5 (2) 398 (Lusis); de forma dorica cf. p. XIX || 40 ]Α vel ]Λ || 42 Λ[, Α[ sim. || 43 Bl. || 45 ΠΑΡΆΠΛΗΓΙ *παραπλᾶγι* Bl. || 52 ΒῘΑΙ· (quod def. Maas cf. 16, 31) || 54 ϹΤΗΘЄϹΙΝ | ЄΜΒΑΛЄΝΟΜΜΑ

καὶ θεοδ'μάτους ἀγυιάς.
3 ἤδη γὰρ ἔτος δέκατον
θεοφιλὲς λιπόντες Ἄργος
5 ναῖον ἀδεισιβόαι
χαλκάσπιδες ἡμίθεοι
σὺν πολυζήλωι βασιλεῖ.
8 νεῖκος γὰρ ἀμαιμάκετον
βληχρᾶς ἀνέπαλτο κασιγ'νήτοις ἀπ' ἀρχᾶς

col 25 (21)

10 Προίτωι τε καὶ Ἀκ'ρισίωι·
λαούς τε διχοστασίαις
12 ἤρειπον ἀμετ'ροδίκοις μάχαις τε λυγ'ραῖς.
λίσσοντο δὲ παῖδας Ἄβαντος
γᾶν πολύκ'ριθον λαχόντας
1 Τίρυνθα τὸν ὀπ'λότερον
κτίζειν, πρὶν ἐς ἀργαλέαν πεσεῖν ἀνάγκαν·
3 Ζεύς τ' ἔθελεν Κρονίδας
τιμῶν Δαναοῦ γενεὰν
καὶ διωξίπποιο Λυγκέος
6 παῦσαι στυγερῶν ἀχέων.
τεῖχος δὲ Κύκ'λωπες κάμον
ἐλθόντες ὑπερφίαλοι κλεινᾶι π[όλ]ει
9 κάλλιστον, ἵν' ἀντίθεοι
ναῖον κλυτὸν ἱππόβοτον
Ἄργος ἥρωες περικ'λειτοὶ λιπόντ[ες.
12 ἔνθεν ἀπεσσύμεναι
Προίτου κυανοπ'λόκαμοι
φεῦγον ἄδ'ματοι θύγατ'ρες.

Γ'

1 τὸν δ' εἷλεν ἄχος κραδίαν, ξεί-
να τέ νιν πλᾶξεν μέριμνα·
3 δοίαξε δὲ φάσγανον ἄμ-
φακες ἐν στέρνοισι πᾶξαι.
5 ἀλλά νιν αἰχμοφόροι

**68** ΗΡΙΠΟΝ ‖ **69** ΠΑΙΔΕϹ: **A³** ‖ **70** *λαχόντα* Wil. ‖ **77** *-μον* elementum anceps ut videtur et finis periodi (cf. 119) ‖ **83** -ΠΛΟΚΑΜΟϹ: **A¹** ‖ **86** ΜΕΡΙΜΝΑΙ: **A¹**





μύθοισί τε μειλιχίοις
καὶ βίαι χειρῶν κάτεχον.
8 τρισκαίδεκα μὲν τελέους
μῆνας κατὰ δάσκιον ἠλύκταζον ὕλαν
10 φεῦγόν τε κατ' Ἀρκαδίαν
μηλοτ'ρόφον· ἀλλ' ὅτε δή
12 Λοῦσον ποτὶ καλλιρόαν πατὴρ ἵκανεν,
ἔνθεν χρόα νιψάμενος φοι-
νικοκ[ραδέμνο]ιο Λατοῦς
1 κίκ'λῃ[σκε θύγατ'ρ]α βοῶπιν,

col 26 (22)

χεῖρας ἀντείνων πρὸς αὐγάς
3 ἱππώκεος ἀελίου,
τέκ'να δυστάνοιο λύσσας
5 πάρφρονος ἐξαγαγεῖν·
„θύσω δέ τοι εἴκοσι βοῦς
ἄζυγας φοινικότριχας."
8 τοῦ δ' ἔκ'λυ' ἀριστοπάτρα
θηροσκόπος εὐχομένου· πιθοῦσα δ' Ἥραν
10 παῦσεν καλυκοστεφάνους
κούρας μανιᾶν ἀθέων·
12 ταὶ δ' αὐτίκα οἱ τέμενος βωμόν τε τεῦχον,
χραῖνόν τέ μιν αἵματι μήλων
καὶ χοροὺς ἵσταν γυναικῶν.
1 ἔνθεν καὶ ἀρηϊφίλοις
ἄνδρεσσιν ⟨ἐς⟩ ἱπποτρόφον πόλιν Ἀχαιοῖς
3 ἕσπεο· σὺν δὲ τύχαι
ναίεις Μεταπόντιον, ὦ
χρυσέα δέσποινα λαῶν·
6 ἄλσος τέ τοι ἱμερόεν
Κάσαν παρ' εὔυδ'ρον †πρόγο-

landscape

**93** ΖΟΝ, non ΞΟΝ fuisse vid. | *ἀλύσκαζον* Bl. Herm. 36, 281 ‖ **94** ΚΑΤΑΚΑΡΔΙΑΝ: Palmer ‖ **99** ]Α vel ]Λ ‖ **106** om. A, add. **A³** in mg. superiore ‖ **110** ΓΑΙ: Bl. alii | ΤΕΤΕΤΕΥΧΟΝ: **A¹** ‖ **114** ⟨ἐς⟩ J. ~ 72, cf. 5, 184 | de *πόλιν* cf. p. XXI | *-τρόφους πόλεις* Schw.; alii alia ‖ **119** sq. *πρὸ τοῦ ἕσσαμ Πύλιοι* Wil. GV. 422, 2; *ἄλσος, τό τοι ἱμερόεν Κάσα παρ' εὔυδρον ῥόον ἕσσαντο, ⟨κλυτὰν⟩ Πριάμοι' ἐπεὶ* Maas Resp. 2, 19 (Wil. et Maas post elem. octav. v. 119 finem

νοι ἐσσάμενοι† Πριάμοι' ἐπεὶ χρόνωι
9 βουλαῖσι θεῶν μακάρων
πέρσαν πόλιν εὐκτιμέναν
χαλκοθωράκων μετ' Ἀτ|ρειδᾶν. δικαίας
12 ὅστις ἔχει φρένας, εὑ-
ρήσει σὺν ἅπαντι χρόνωι
μυρίας ἀλκὰς Ἀχαιῶν.

## 12 (11)

## ΤΕΙΣΙΑΙ ΑΙΓΙΝΗΤΗΙ

## ΠΑΛΑΙΣΤΗΙ ΝΕΜΕΑ

metrum: dactyloepitr (v. p. XXV) *Α'—Γ'*
*ΣΤΡ* —e—D—e—|³D|—D∪e|⁵—D—|⁶E—||
⁷—E—e|||
*ΕΠ* —D|²—D—||³e—D|⁴—e—|⁵[e]—D—|
[⁶⁻⁹] |||

*Α'* Ὡσεὶ κυβερνήτας σοφός, ὑμνοάνασ-
σ' εὔθυνε Κλειοῖ
3 νῦν φρένας ἁμετέρας,
εἰ δή ποτε καὶ πάρος· ἐς γὰρ ὀλβίαν
ξείνοισί με πότ|νια Νίκα
6 νᾶσον Αἰγίνας ἀπάρχει
ἐλθόντα κοσμῆσαι θεόδ|ματον πόλιν
8 τάν τ' ἐν Νεμέᾱι γυιαλκέα μουνοπάλαν
col 27 (desunt vv. 9—32)
*Β'* 3 ].[ ]πιδ[
34 ξεινου [. . . .]νιοι αστ[×–∪–

periodi statuunt, cf. v. 77); τὸ τιμῶσ' Theiler, Mus Helv. 3, 24, qui confert Hdt. 1, 66 (W. Schulze, Kl. Schr. 354, 4); alia v. ap. J. et Cataudella Aeg. 31, 1951, 232 | ad Κάσαν fluvium Diels, Herm. 33, 334 || **120** ΕΠΙ: **A**³

**12 6** ad ἀπάρχειν et ἄπαρχος v. Wil. ad Aesch. Pers. 327; Ed. Fraenkel ad Aesch. Ag. 1227 || **33—42** = fr. Flor. B (cf. p. VIII et XLV) || **33** ]Υ[, ]Φ[, ]Ρ[, ]Τ[ sim. | [ναέται ––]πιδ' [εὐ-] : ξείνου-[∪∪–]νιοι ἄστ[εος e. g. Sn. || **34** Υ[ pot. qu. Τ[





5 ἀμφικ[τιόν]ων ἐν ἀέθ|λοι[ς
σὺν τρι[άκο]ντ' ἀγ|λααῖσιν
7 νίκαις [ἐκ]ωμάσθησαν οἱ μει[–∪–,
οἱ δ' ἐν Πέλοπος ζαθέας
νάσου π[ι]τυώδεϊ δείρᾱι,
3 οἱ δὲ φοινικοστερόπα τεμένει
Ζηνὸς Νεμεαίου·
5 . . .(. . .)] ταύτας καὶ ἐπ' ἀργυροδίνα
col 28 (desunt vv. 43—69)

## 13 (12)

## [ΠΥΘΕΑΙ ΑΙΓΙΝΗΤΗΙ

## ΠΑΓΚΡΑΤΙΑΣΤΗΙ ΝΕΜΕΑ]

metrum: dactyloepitr (v. p. XXV) *Α'—Ζ'*
102 148. 169. 202
*ΣΤΡ* —D⏑e—||³———∪∪—⏑|e ⏑ e—||
54?
⁵—D—||⁶E—D⏑e—||⁹D⏑||¹⁰D⏑|
123. 156
¹¹D—e⏑e—|||
58 60?
*ΕΠ* —D⏑e|—D⏑e—|⁴e—D—E||
63—162? 196 131 66
⁶—D⏑ | e⏑e⏑e||⁸D⏑e⏑e—|||

*Α'* (desunt vv. 1—7)
col 29 (23) ––∪––]
9 –∪∪–∪∪] Κλειώ
–∪∪–∪∪]΄. ερ[–
11 –∪∪–∪∪–]

**13** metri causa correctum 62 παύροισ{ι}, 100 υἱ{ε}ας, 110 ὁ⟨π⟩-ποτε; notandum 64 κῡάνεον, 69 πανθᾱλέων. colometria: antistr. γ' 6/7 (v. 84sq.) et epod. ε' 3/4 (v. 159sq.) in unum contracti, illi quidem non sine gravi corruptela

**35** M. Norsa || **36** Sn. || **37** M. Norsa | οἱ μεγασθενεῖς vel οἱ μὲν Πυθόι Sn. (Πυθίαις P. Maas) || **39** πιτ. agn. Sn. || **40** ΡΟΠ || **41** ΑΙΟΥ· || **42** ταύτας Sn. || **43** ὄχθαισιν Ἀλφειοῦ vel Ἀλφεοῖ' ὄχθαις e. g. Sn. cf. 8, 26sq.

**13** de inscr. v. p. XLV || **9** ]Κ vel ]Α, tum Λ pot. qu. Α || **10** ΕΡ[ potius quam ΕΒ[